Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β πρὸς ἀλλήλους λόγον ἐχέτωσαν, ὃν τετράγωνος ἀριθμὸς ὁ Γ πρὸς τετράγωνον ἀριθμὸν τὸν Δ, ὁ δὲ Α τετράγωνος ἔστω· λέγω, ὅτι καὶ ὁ Β τετράγωνός ἐστιν.

Ἐπεὶ γὰρ οἱ Γ, Δ τετράγωνοί εἰσιν, οἱ Γ, Δ ἄρα ὅμοιοι ἐπίπεδοί εἰσιν. τῶν Γ, Δ ἄρα εἷς μέσος ἀνάλογον ἐμπίπτει ἀριθμός. καί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, ὁ Α πρὸς τὸν Β· καὶ τῶν Α, Β ἄρα εἷς μέσος ἀνάλογον ἐμπίπτει ἀριθμός. καί ἐστιν ὁ Α τετράγωνος· καὶ ὁ Β ἄρα τετράγωνός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

---

7. ἔσται BVφ. 9. Β, Γ] Γ, Β φ. εἰσιν P. 14. τετράγωνος ἀριθμὸς πρός] mg. φ. τετράγωνος φ, sed corr. 15. ἀριθμός φ, sed corr. ᾖ τετραγωνος BVφ. 16. δεύτερος] λοιπός P. 22. εἰσι Vφ. 23. καί] καὶ ἐπεί P. τόν] om. B. 24. τόν] om. B. 25. ὁ] ὡς ὁ P.

XXIII.

Si quattuor numeri deinceps proportionales sunt, et primus cubus est, etiam quartus cubus erit.

Sint quattuor numeri deinceps proportionales *A*, *B*, *Γ*, *Δ*, et *A* cubus sit. dico, etiam *Δ* cubum esse.

A
B
Γ
Δ

nam quoniam inter *A*, *Δ* duo medii proportionales sunt numeri *B*, *Γ*, *A* et *Δ* similes sunt solidi numeri [prop. XXI]. uerum *A* cubus est. ergo etiam *Δ* cubus est [VII def. 21]; quod erat demonstrandum.

XXIV.

Si duo numeri inter se rationem habent, quam quadratus numerus ad quadratum numerum, et primus quadratus est, etiam secundus quadratus erit.

Duo enim numeri *A*, *B* inter se rationem habeant, quam quadratus numerus *Γ* ad quadratum numerum *Δ*, et *A* quadratus sit. dico, etiam *B* quadratum esse.

A
B
Γ
Δ

nam quoniam *Γ*, *Δ* quadrati sunt, *Γ*, *Δ* similes sunt plani. itaque inter *Γ*, *Δ* unus medius proportionalis interponitur numerus [prop. XVIII]. est autem $Γ : Δ = A : B$. quare etiam inter *A*, *B* unus medius proportionalis interponitur numerus [prop. VIII]. et *A* quadratus est. ergo etiam *B* quadratus est [prop. XXII]; quod erat demonstrandum.

κε'.

Ἐὰν δύο ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχωσιν, ὃν κύβος ἀριθμὸς πρὸς κύβον ἀριθμόν, ὁ δὲ πρῶτος κύβος ᾖ, καὶ ὁ δεύτερος κύβος ἔσται.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β πρὸς ἀλλήλους λόγον ἐχέτωσαν, ὃν κύβος ἀριθμὸς ὁ Γ πρὸς κύβον ἀριθμὸν τὸν Δ, κύβος δὲ ἔστω ὁ Α· λέγω [δή], ὅτι καὶ ὁ Β κύβος ἐστίν.

Ἐπεὶ γὰρ οἱ Γ, Δ κύβοι εἰσίν, οἱ Γ, Δ ὅμοιοι στερεοί εἰσιν· τῶν Γ, Δ ἄρα δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί. ὅσοι δὲ εἰς τοὺς Γ, Δ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν, τοσοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς· ὥστε καὶ τῶν Α, Β δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί. ἐμπιπτέτωσαν οἱ Ε, Ζ. ἐπεὶ οὖν τέσσαρες ἀριθμοὶ οἱ Α, Ε, Ζ, Β ἑξῆς ἀνάλογόν εἰσιν, καί ἐστι κύβος ὁ Α, κύβος ἄρα καὶ ὁ Β· ὅπερ ἔδει δεῖξαι.

κϛ'.

Οἱ ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν.

Ἔστωσαν ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ οἱ Α, Β· λέγω, ὅτι ὁ Α πρὸς τὸν Β λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν.

---


3. πρὸς κύβον ἀριθμόν] bis φ, sed corr. 8. δή] om. P. 10. ὅμοιοι] ἄρα ὅμοιοι BVφ. 11. εἰσί Vφ. 12. δέ] δή? 13. ἐμπίπτουσι PVφ. 15. τῶν] τόν φ. 17. εἰσιν] εἰσι Vφ. ἐστι] ἐστιν P. 24. Α] seq. ras. 1 litt. V. ἀριθμός om. Vφ.

XXV.

Si duo numeri inter se rationem habent, quam cubus numerus ad cubum numerum, et primus cubus est, etiam secundus cubus erit.

Duo enim numeri *A*, *B* inter se rationem habeant, quam cubus numerus *Γ* ad cubum numerum *Δ*, et cubus sit *A*. dico, etiam *B* cubum esse.

nam quoniam *Γ*, *Δ* cubi sunt, *Γ*, *Δ* similes solidi sunt. itaque inter *Γ*, *Δ* duo medii proportionales interponuntur numeri [prop. XIX]. iam quot inter *Γ*, *Δ* secundum proportionem continuam interponun-



tur numeri, totidem etiam inter eos, qui eandem rationem habent, interponuntur [prop. VIII]. quare etiam inter *A*, *B* duo medii proportionales interponuntur numeri. interponantur *E*, *Z*. iam quoniam quattuor numeri *A*, *E*, *Z*, *B* deinceps proportionales sunt, et cubus est *A*, etiam *B* cubus est [prop. XXIII]; quod erat demonstrandum.

XXVI.

Similes numeri plani inter se eam rationem habent, quam quadratus numerus ad quadratum numerum.

Sint similes numeri plani *A*, *B*. dico, *A* ad *B* eam rationem habere, quam quadratus numerus habeat ad quadratum numerum.

Ἐπεὶ γὰρ οἱ Α, Β ὅμοιοι ἐπίπεδοί εἰσιν, τῶν Α, Β ἄρα εἷς μέσος ἀνάλογον ἐμπίπτει ἀριθμός. ἐμπιπτέτω καὶ ἔστω ὁ Γ, καὶ εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Γ, Β οἱ Δ, Ε, Ζ· οἱ ἄρα ἄκροι αὐτῶν οἱ Δ, Ζ τετράγωνοί εἰσιν. καὶ ἐπεί ἐστιν ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Β, καί εἰσιν οἱ Δ, Ζ τετράγωνοι, ὁ Α ἄρα πρὸς τὸν Β λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ὅπερ ἔδει δεῖξαι.

κζ'.

Οἱ ὅμοιοι στερεοὶ ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν, ὃν κύβος ἀριθμὸς πρὸς κύβον ἀριθμόν.

Ἔστωσαν ὅμοιοι στερεοὶ ἀριθμοὶ οἱ Α, Β· λέγω, ὅτι ὁ Α πρὸς τὸν Β λόγον ἔχει, ὃν κύβος ἀριθμὸς πρὸς κύβον ἀριθμόν.

Ἐπεὶ γὰρ οἱ Α, Β ὅμοιοι στερεοί εἰσιν, τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί. ἐμπιπτέτωσαν οἱ Γ, Δ, καὶ εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Γ, Δ, Β ἴσοι αὐτοῖς τὸ πλῆθος οἱ Ε, Ζ, Η, Θ· οἱ ἄρα ἄκροι αὐτῶν οἱ Ε, Θ κύβοι εἰσίν. καί ἐστιν ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὁ Α ἄρα πρὸς τὸν Β λόγον ἔχει, ὃν κύβος ἀριθμὸς πρὸς κύβον ἀριθμόν· ὅπερ ἔδει δεῖξαι.

---

1. εἰσι Vφ. 4. τοῖς] corr. ex τοι m. 2 P. Γ, Β] Β, Γ P. 6. εἰσι Vφ. 11. οἱ] om. P. 17. εἰσι Vφ. 18. μέσοι] -οι e corr. m. 1 P. 19. ἀριθμοί] om. B. 20. Β] Ζ φ. 22. εἰσί Vφ. 23. καὶ ὁ Α ἄρα πρὸς τὸν Β] mg. φ. 25. ὅπερ ἔδει δεῖξαι] om. B. In fine Εὐκλείδου στοιχείων η' P.


nam quoniam *A*, *B* similes plani sunt, inter *A*, *B* unus medius proportionalis interponitur numerus [prop. XVIII]. interponatur, et sit *Γ*, et sumantur numeri *Δ*, *E*, *Z* minimi eorum, qui eandem rationem habent ac *A*, *Γ*, *B* [prop. II]. itaque extremi eorum *Δ*, *Z* quadrati sunt [prop. II coroll.]. et quoniam est $\Delta : Z = A : B$, et *Δ*, *Z* quadrati sunt, *A* ad *B* rationem habet, quam quadratus numerus ad quadratum numerum; quod erat demonstrandum.

XXVII.

Similes numeri solidi inter se rationem habent, quam cubus numerus ad cubum numerum.

Sint similes numeri solidi *A*, *B*. dico, *A* ad *B* eam rationem habere, quam cubus numerus habeat ad cubum numerum.

nam quoniam *A*, *B* similes sunt solidi, inter *A*, *B* duo medii proportionales interponuntur numeri



[prop. XIX]. interponantur *Γ*, *Δ*, et sumantur minimi numeri eorum, qui eandem rationem habent ac *A*, *Γ*, *Δ*, *B* iis aequales multitudine *E*, *Z*, *H*, *Θ* [prop. II]. itaque extremi eorum *E*, *Θ* cubi sunt [prop. II coroll.]. et $E : \Theta = A : B$. ergo *A* ad *B* eam rationem habet, quam cubus numerus ad cubum numerum; quod erat demonstrandum.

ϑ'.

α'.

Ἐὰν δύο ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, ὁ γενόμενος τετράγωνος ἔσται.

Ἔστωσαν δύο ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ οἱ *Α*, *Β*, καὶ ὁ *Α* τὸν *Β* πολλαπλασιάσας τὸν *Γ* ποιείτω· λέγω, ὅτι ὁ *Γ* τετράγωνός ἐστιν.

Ὁ γὰρ *Α* ἑαυτὸν πολλαπλασιάσας τὸν *Δ* ποιείτω. ὁ *Δ* ἄρα τετράγωνός ἐστιν. ἐπεὶ οὖν ὁ *Α* ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, τὸν δὲ *Β* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Α* πρὸς τὸν *Β*, οὕτως ὁ *Δ* πρὸς τὸν *Γ*. καὶ ἐπεὶ οἱ *Α*, *Β* ὅμοιοι ἐπίπεδοί εἰσιν ἀριθμοί, τῶν *Α*, *Β* ἄρα εἷς μέσος ἀνάλογον ἐμπίπτει ἀριθμός. ἐὰν δὲ δύο ἀριθμῶν μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι εἰς αὐτοὺς ἐμπίπτουσι, τοσοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας· ὥστε καὶ τῶν *Δ*, *Γ* εἷς μέσος ἀνάλογον ἐμπίπτει ἀριθμός. καί ἐστι τετράγωνος ὁ *Δ*· τετράγωνος ἄρα καὶ ὁ *Γ*· ὅπερ ἔδει δεῖξαι.

ϑ'] corr. ex η' V. Post titulum, ante prop. I in textu scholium habent Vφ, u. app. 9. *ἐπεὶ οὖν*] *καὶ ἐπεί* Vφ. 10. *μέν*] om. B. *Δ*] in ras. P. *πεποίηκε* Vφ. 11. *Γ*] in ras. P. 14. *δέ*] supra m. 2 V. *μεταξὺ ἀριθμῶν* Vφ. 16. *ἀριθμοί, ὅσοι εἰς αὐτοὺς ἐμπίπτουσι*] mg. m. 2 B. 17.

IX.

I.

Si duo similes numeri plani inter se multiplicantes numerum aliquem effecerint, numerus ex iis productus quadratus erit.

A ———
B ————
Γ ——————
Δ —————

Sint duo similes numeri plani A, B, et sit

$$A \times B = \Gamma.$$

dico, numerum Γ quadratum esse.

sit enim $A \times A = \Delta$. Δ igitur quadratus est. iam quoniam $A \times A = \Delta$ et $A \times B = \Gamma$, erit $A : B = \Delta : \Gamma$ [VII, 17]. et quoniam A, B similes sunt numeri plani, inter A, B unus medius proportionalis interponitur numerus [VIII, 18]. sin inter duos numeros secundum proportionem continuam numeri aliquot interponuntur, quot inter eos interponuntur, totidem etiam inter eos interponuntur, qui eandem rationem habent [VIII, 8]. quare etiam inter Δ, Γ unus medius proportionalis interponitur numerus. et quadratus est Δ. ergo etiam Γ quadratus est [VIII, 22]; quod erat demonstrandum.

ἔχοντας αὐτοῖς φ, αὐτοῖς mg. m. 2 V. 18. ἐστιν P. 19. ὁ Δ· τετράγωνος] mg. m. 1 P. ὅπερ ἔδει δεῖξαι] m. 2 V, om. B.

β'.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσι τετράγωνον, ὅμοιοι ἐπίπεδοί εἰσιν ἀριθμοί.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ *Α*, *Β*, καὶ ὁ *Α* τὸν *Β* πολλαπλασιάσας τετράγωνον τὸν *Γ* ποιείτω· λέγω, ὅτι οἱ *Α*, *Β* ὅμοιοι ἐπίπεδοί εἰσιν ἀριθμοί.

Ὁ γὰρ *Α* ἑαυτὸν πολλαπλασιάσας τὸν *Δ* ποιείτω· ὁ *Δ* ἄρα τετράγωνός ἐστιν. καὶ ἐπεὶ ὁ *Α* ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, τὸν δὲ *Β* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Α* πρὸς τὸν *Β*, ὁ *Δ* πρὸς τὸν *Γ*. καὶ ἐπεὶ ὁ *Δ* τετράγωνός ἐστιν, ἀλλὰ καὶ ὁ *Γ*, οἱ *Δ*, *Γ* ἄρα ὅμοιοι ἐπίπεδοί εἰσιν. τῶν *Δ*, *Γ* ἄρα εἷς μέσος ἀνάλογον ἐμπίπτει. καί ἐστιν ὡς ὁ *Δ* πρὸς τὸν *Γ*, οὕτως ὁ *Α* πρὸς τὸν *Β*· καὶ τῶν *Α*, *Β* ἄρα εἷς μέσος ἀνάλογον ἐμπίπτει. ἐὰν δὲ δύο ἀριθμῶν εἷς μέσος ἀνάλογον ἐμπίπτῃ, ὅμοιοι ἐπίπεδοί εἰσιν [οἱ] ἀριθμοί· οἱ ἄρα *Α*, *Β* ὅμοιοί εἰσιν ἐπίπεδοι· ὅπερ ἔδει δεῖξαι.

γ'.

Ἐὰν κύβος ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος κύβος ἔσται.

Κύβος γὰρ ἀριθμὸς ὁ *Α* ἑαυτὸν πολλαπλασιάσας τὸν *Β* ποιείτω· λέγω, ὅτι ὁ *Β* κύβος ἐστίν.

Εἰλήφθω γὰρ τοῦ *Α* πλευρὰ ὁ *Γ*, καὶ ὁ *Γ* ἑαυτὸν πολλαπλασιάσας τὸν *Δ* ποιείτω. φανερὸν δή ἐστιν,

3. εἰσι Vφ. 4. ἀριθμοί] om. BVφ. 5. ἔστωσαν — 6: ποιείτω] δύο γὰρ ἀριθμοὶ οἱ *Α*, *Β* πολλαπλασιάσαντες (m. 2 B) ἀλλήλους τετράγωνον τὸν *Γ* ποιείτωσαν Theon (BVφ). 9. ἐστι Vφ. *Α*] supra m. 1 V. μέν] om. φ. 10. πεποίηκε Vφ.

II.

Si duo numeri inter se multiplicantes quadratum effecerint, similes erunt numeri plani.

Sint duo numeri A, B, et A numerum B multiplicans numerum Γ quadratum efficiat. dico, A, B similes esse numeros planos.

nam sit $A \times A = \Delta$. itaque Δ quadratus est. et quoniam $A \times A = \Delta$ et $A \times B = \Gamma$, erit $A : B = \Delta : \Gamma$ [VII, 17]. et quoniam Δ quadratus est, uerum etiam Γ, numeri Δ, Γ similes plani sunt. itaque inter Δ, Γ unus medius proportionalis interponitur [VIII, 18]. est autem $\Delta : \Gamma = A : B$. quare etiam inter A, B unus medius proportionalis interponitur [VIII, 8]. sin inter duos numeros unus medius proportionalis interponitur, similes plani sunt numeri [VIII, 20]. ergo A, B similes plani sunt; quod erat demonstrandum.

III.

Si cubus numerus se ipsum multiplicans numerum aliquem effecerit, numerus productus cubus erit.

Cubus enim numerus A se ipsum multiplicans B numerum efficiat. dico, B numerum cubum esse.

sumatur enim Γ latus numeri A, et sit $\Gamma \times \Gamma = \Delta$.

12. *τόν*] om. B. *οὕτως ὁ* B. *τόν*] om. B. 14. *εἴσι* V φ. Post *ἐμπίπτει* in V φ: *ἀριθμός*; idem B m. 2. 16. *τῶν*] corr. ex *τόν* φ. *ἀνάλογος* V, sed corr. 17. *ἐὰν δέ — ἐμπίπτῃ*] mg. m. 2 B, addito *ἀριθμός* ante *ἐάν*. *ἐμπίπτει* B; et V φ, sed corr. m. 1. 18. *οἱ*] (prius) om. P. 19. *ἐπίπεδοι*] om. P. 26. Δ] corr. ex B m. 1 P.

ὅτι ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Α πεποίηκεν. καὶ ἐπεὶ ὁ Γ ἑαυτὸν πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ Γ ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας. ἀλλὰ μὴν καὶ ἡ μονὰς τὸν Γ μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν Δ. πάλιν, ἐπεὶ ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Α πεποίηκεν, ὁ Δ ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας. μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Γ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Γ, ὁ Δ πρὸς τὸν Α. ἀλλ' ὡς ἡ μονὰς πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ἡ μονὰς πρὸς τὸν Γ, οὕτως ὁ Γ πρὸς τὸν Δ καὶ ὁ Δ πρὸς τὸν Α. τῆς ἄρα μονάδος καὶ τοῦ Α ἀριθμοῦ δύο μέσοι ἀνάλογον κατὰ τὸ συνεχὲς ἐμπεπτώκασιν ἀριθμοὶ οἱ Γ, Δ. πάλιν, ἐπεὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν, ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας. μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Α κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Α, ὁ Α πρὸς τὸν Β. τῆς δὲ μονάδος καὶ τοῦ Α δύο μέσοι ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί· καὶ τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογον ἐμπεσοῦνται ἀριθμοί. ἐὰν δὲ δύο ἀριθμῶν δύο μέσοι ἀνάλογον ἐμπίπτωσιν, ὁ δὲ πρῶτος κύβος ᾖ, καὶ ὁ δεύτερος κύβος ἔσται. καί ἐστιν ὁ Α κύβος· καὶ ὁ Β ἄρα κύβος ἐστίν· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ἐὰν κύβος ἀριθμὸς κύβον ἀριθμὸν πολ-

---

1. πεποίηκε Vφ. 2. πεποίηκε Vφ. ὁ Γ] postea insert. B. 5. τόν] om. B. οὕτως ὁ B. 6. τόν] (prius) om. B. 7. Δ] seq. ras. 1 litt. φ. 13. καὶ τοῦ] bis φ, sed corr. 18. οὕτως ὁ B. 19. τόν] om. B. 20. ἀνάλωγον φ. ἀριθμοὶ ἐμ-

manifestum igitur, esse $\Gamma \times \Delta = A$. et quoniam $\Gamma \times \Gamma = \Delta$, Γ numerum Δ secundum unitates suas metitur [VII def. 15]. uerum etiam unitas numerum Γ secundum unitates ipsius metitur. itaque [VII def. 20] $1 : \Gamma = \Gamma : \Delta$. rursus quoniam $\Gamma \times \Delta = A$, Δ numerum A secundum unitates numeri Γ metitur. uerum etiam unitas numerum Γ secundum unitates ipsius metitur. erit igitur

$$1 : \Gamma = \Delta : A. \quad \text{uerum } 1 : \Gamma = \Gamma : \Delta.$$

itaque $1 : \Gamma = \Gamma : \Delta = \Delta : A$. itaque inter unitatem et numerum A duo medii proportionales interponuntur numeri Γ, Δ secundum proportionem continuam. rursus quoniam est $A \times A = B$, A numerum B secundum unitates suas metitur. uerum etiam unitas numerum A secundum unitates ipsius metitur. erit igitur $1 : A = A : B$. sed inter unitatem et A duo medii proportionales interponuntur numeri. itaque etiam inter A, B duo medii proportionales interponentur numeri [VIII, 8].[1]) sin inter duos numeros duo medii proportionales interponuntur, et primus cubus est, etiam secundus cubus erit [VIII, 23]. et A cubus est. ergo etiam B cubus est; quod erat demonstrandum.

IV.

Si cubus numerus cubum numerum multiplicans

---

1) VIII, 8 de duobus numeris proportionalibus demonstratur; sed demonstratio eadem tum quoque ualet, si alter unitas est.

πεπτώκασιν P. τῶν] corr. ex τόν V. 22. ἐμπίπτωσιν] e corr. V. 23. δεύτερος] τέταρτος Theon (BVφ).

λαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος κύβος ἔσται.

Κύβος γὰρ ἀριθμὸς ὁ *Α* κύβον ἀριθμὸν τὸν *Β* πολλαπλασιάσας τὸν *Γ* ποιείτω· λέγω, ὅτι ὁ *Γ* κύβος ἐστίν.

Ὁ γὰρ *Α* ἑαυτὸν πολλαπλασιάσας τὸν *Δ* ποιείτω· ὁ *Δ* ἄρα κύβος ἐστίν. καὶ ἐπεὶ ὁ *Α* ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, τὸν δὲ *Β* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Α* πρὸς τὸν *Β*, οὕτως ὁ *Δ* πρὸς τὸν *Γ*. καὶ ἐπεὶ οἱ *Α*, *Β* κύβοι εἰσίν, ὅμοιοι στερεοί εἰσιν οἱ *Α*, *Β*. τῶν *Α*, *Β* ἄρα δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί· ὥστε καὶ τῶν *Δ*, *Γ* δύο μέσοι ἀνάλογον ἐμπεσοῦνται ἀριθμοί. καί ἐστι κύβος ὁ *Δ*· κύβος ἄρα καὶ ὁ *Γ*· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν κύβος ἀριθμὸς ἀριθμόν τινα πολλαπλασιάσας κύβον ποιῇ, καὶ ὁ πολλαπλασιασθεὶς κύβος ἔσται.

Κύβος γὰρ ἀριθμος ὁ *Α* ἀριθμόν τινα τὸν *Β* πολλαπλασιάσας κύβον τὸν *Γ* ποιείτω· λέγω, ὅτι ὁ *Β* κύβος ἐστίν.

Ὁ γὰρ *Α* ἑαυτὸν πολλαπλασιάσας τὸν *Δ* ποιείτω· κύβος ἄρα ἐστίν ὁ *Δ*. καὶ ἐπεὶ ὁ *Α* ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, τὸν δὲ *Β* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Α* πρὸς τὸν *Β*, ὁ *Δ* πρὸς τὸν *Γ*. καὶ ἐπεὶ οἱ *Δ*, *Γ* κύβοι εἰσίν, ὅμοιοι στερεοί εἰσιν. τῶν *Δ*, *Γ* ἄρα δύο μέσοι ἀνά-

---

6. γὰρ *Α*] *Α* γάρ BVφ. 7. *Δ*] seq. ras. 1 litt. φ. ἐστί Vφ. 8. πεποίηκε Vφ. 10. τόν] bis om. B. 11. εἰσι Vφ. οἱ *Α*, *Β*] om. BVφ. 13. τῶν] e corr. V. 14.

numerum aliquem effecerit, numerus productus cubus erit.

Cubus enim numerus A cubum numerum B multiplicans efficiat Γ. dico, Γ cubum esse.

sit enim $A \times A = \Delta$. Δ igitur cubus est [prop. III]. et quoniam $A \times A = \Delta$ et $A \times B = \Gamma$, erit $A : B = \Delta : \Gamma$ [VII, 17]. et quoniam A, B cubi sunt, A, B similes sunt solidi. itaque inter A, B duo medii proportionales interponuntur numeri [VIII, 19]. quare etiam inter Δ, Γ duo medii proportionales interponuntur numeri [VIII, 8]. et cubus est Δ. ergo etiam Γ cubus est [VIII, 23]; quod erat demonstrandum.

V.

Si cubus numerus numerum aliquem multiplicans cubum effecerit, etiam numerus multiplicatus cubus erit.

Cubus enim numerus A numerum aliquem B multiplicans cubum Γ efficiat. dico, etiam B cubum esse.

nam sit $A \times A = \Delta$. itaque Δ cubus est [prop. III]. et quoniam $A \times A = \Delta$ et $A \times B = \Gamma$, erit $A : B = \Delta : \Gamma$ [VII, 17]. et quoniam Δ, Γ cubi sunt, similes sunt solidi. itaque inter Δ, Γ duo medii proportionales interponuntur numeri [VIII, 19]. est

---

ἔστιν P. Prop. 5 in Vφ bis scribitur, secundo loco (V_2 φ_2) sine numero. *τὸ ε̅ δὶς ἐγράφη κατὰ λήθην τοῦ γραφέως* V mg. 21. B] supra V_2. 23. Δ] in ras. V_2. 24. *μέν*] om. φ. 25. *πεποίηκε* Vφ V_2 φ_2. 27. *οὕτως ὁ* V. Δ, Γ] eras. V. 28. *ὅμοιοι οἱ* φ. *εἰσι* Vφ V_2 φ_2. Δ, Γ] eras. V.

λογον ἐμπίπτουσιν ἀριθμοί. καί ἐστιν ὡς ὁ Δ πρὸς τὸν Γ, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί. καί ἐστι κύβος ὁ Α· κύβος ἄρα ἐστὶ καὶ ὁ Β· ὅπερ ἔδει δεῖξαι.

ϛ'.

Ἐὰν ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας κύβον ποιῇ, καὶ αὐτὸς κύβος ἔσται.

Ἀριθμὸς γὰρ ὁ Α ἑαυτὸν πολλαπλασιάσας κύβον τὸν Β ποιείτω· λέγω, ὅτι καὶ ὁ Α κύβος ἐστίν.

Ὁ γὰρ Α τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω. ἐπεὶ οὖν ὁ Α ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Β πεποίηκεν, τὸν δὲ Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Γ ἄρα κύβος ἐστίν. καὶ ἐπεὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν, ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας. μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Α κατὰ τὰς ἐν αὐτῷ μονάδας. ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Β. καὶ ἐπεὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Β ἄρα τὸν Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ μονὰς τὸν Α κατὰ τὰς ἐν αὐτῷ μονάδας. ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Β πρὸς τὸν Γ. ἀλλ' ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, ὁ Β πρὸς τὸν Γ. καὶ ἐπεὶ οἱ Β, Γ κύβοι εἰσίν, ὅμοιοι στερεοί εἰσιν. τῶν Β, Γ ἄρα δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί. καί

---

1. καί ἐστιν — 3: ἀριθμοί] mg. m. 2 V; in textu ὥστε καὶ τῶν Δ, Γ δύο μέσοι ἀνάλογον ἐμπεσοῦνται ἀριθμοί, sed delet. V. 2. ἄρα] ἔτι φ. 3. ἐμπίπτουσιν ἀριθμοὶ ἀνάλογον BVφ, V_2 $φ_2$. ἐστιν P. 4. Α] eras. V. κύβος] m. 2 B. ἐστί] om. Vφ, ἐστίν $φ_2$. Β] eras. V. 5. ϛ']

autem $\Delta : \Gamma = A : B$. itaque etiam inter A, B duo medii proportionales interponuntur numeri [VIII, 8]. et cubus est A. ergo etiam B cubus est [VIII, 23]; quod erat demonstrandum.

VI.

Si numerus se ipsum multiplicans cubum effecerit, et ipse cubus erit.

Numerus enim A se ipsum multiplicans efficiat cubum B. dico, etiam A cubum esse.

sit enim $A \times B = \Gamma$. iam quoniam $A \times A = B$ et $A \times B = \Gamma$, Γ cubus est. et quoniam $A \times A = B$, A numerum B secundum unitates suas metitur. uerum etiam unitas numerum A secundum unitates ipsius metitur. itaque $1 : A = A : B$. et quoniam $A \times B = \Gamma$, B numerum Γ secundum unitates numeri A metitur. uerum etiam unitas numerum A secundum unitates ipsius metitur. itaque $1 : A = B : \Gamma$. sed

$$1 : A = A : B.$$

quare etiam $A : B = B : \Gamma$. et quoniam B, Γ cubi sunt, similes sunt solidi. itaque inter B, Γ duo medii proportionales sunt numeri [VIII, 19]. est autem

---

sic Vφ. 11. πεποίηκε Vφ. 13. ἐστί Vφ. ἑαυτὸν μέν BVφ. 14. πεποίηκε Vφ. ὁ *A* ἄρα — 22: οὕτως ὁ *A* πρὸς τὸν *B*] P, τὸν δὲ *B* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν Theon (BVφ). 22. *B*] in ras. P. 23. καί] om. BVφ. ὁ *B*] supra φ. 24. εἰσι Vφ. 25. *B*, *Γ*] *A*, *B* P.

ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ, ὁ Α πρὸς τὸν Β. καὶ τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί. καί ἐστι κύβος ὁ Β· κύβος ἄρα ἐστὶ καὶ ὁ Α· ὅπερ ἔδει δεῖξαι.

ζʹ.

Ἐὰν σύνθετος ἀριθμὸς ἀριθμόν τινα πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος στερεὸς ἔσται.

Σύνθετος γὰρ ἀριθμὸς ὁ Α ἀριθμόν τινα τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω, ὅτι ὁ Γ στερεός ἐστιν.

Ἐπεὶ γὰρ ὁ Α σύνθετός ἐστιν, ὑπὸ ἀριθμοῦ τινος μετρηθήσεται. μετρείσθω ὑπὸ τοῦ Δ, καὶ ὁσάκις ὁ Δ τὸν Α μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ε. ἐπεὶ οὖν ὁ Δ τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Ε μονάδας, ὁ Ε ἄρα τὸν Δ πολλαπλασιάσας τὸν Α πεποίηκεν. καὶ ἐπεὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ δὲ Α ἐστιν ὁ ἐκ τῶν Δ, Ε, ὁ ἄρα ἐκ τῶν Δ, Ε τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ὁ Γ ἄρα στερεός ἐστιν, πλευραὶ δὲ αὐτοῦ εἰσιν οἱ Δ, Ε, Β· ὅπερ ἔδει δεῖξαι.

ηʹ.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος τετράγωνος ἔσται καὶ οἱ ἕνα διαλείποντες, ὁ δὲ τέταρτος κύβος καὶ οἱ δύο διαλείποντες

---

1. οὕτως ὁ Α BVφ. 3. ἐστιν P. κύβος] (alt.) om. φ. ἐστίν P. 15. ἐπεὶ ουν — 16: μονάδας] om. Vφ. 16. πεποίηκε Vφ. 18. ὁ] (alt.) om. BVφ. 19. Post πεποίηκεν add. φ, VB mg. m. 2: καὶ (om. B) ὁ Β ἄρα (ἔτι φ) τὸν ἐκ τῶν

$B : \Gamma = A : B$. quare etiam inter A, B duo medii proportionales sunt [VIII, 8]. et cubus est B. quare etiam A cubus est;[1]) quod erat demonstrandum.

VII.

Si compositus numerus numerum aliquem multiplicans alium aliquem effecerit, numerus productus solidus erit.

Compositus enim numerus A numerum aliquem B multiplicans numerum Γ efficiat. dico, numerum Γ solidum esse.

nam quoniam A compositus est, numerus aliquis eum metietur. metiatur numerus Δ, et quoties Δ numerum A metitur, tot unitates sint in E. iam quoniam Δ numerum A secundum unitates numeri E metitur, erit $E \times \Delta = A$ [VII def. 15]. et quoniam $A \times B = \Gamma$, et $A = \Delta \times E$, erit

$$\Delta \times E \times B = \Gamma.$$

ergo Γ solidus est, latera autem eius sunt Δ, E, B; quod erat demonstrandum.

VIII.

Si quotlibet numeri inde ab unitate deinceps proportionales sunt, tertius ab unitate quadratus erit et

1) Nam $A : x = x : y = y : B$, siue (VII, 13)

$$B : y = y : x = x : A.$$

tum u. VIII, 23.

Δ, E πολλαπλασιάσας τὸν A (τὸν A om. B) τὸν Γ πεποίηκεν. 20. ἐστι Vφ. Δ] e corr. V. E] om. B. 25. ἔσται] ἐστι BVφ. ὁ] πάντες, ὁ BVφ.

πάντες, ὁ δὲ ἕβδομος κύβος ἅμα καὶ τετράγωνος καὶ οἱ πέντε διαλείποντες.

Ἔστωσαν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ, Ε, Ζ· λέγω, ὅτι ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος ὁ Β τετράγωνός ἐστι καὶ οἱ ἕνα διαλείποντες πάντες, ὁ δὲ τέταρτος ὁ Γ κύβος καὶ οἱ δύο διαλείποντες πάντες, ὁ δὲ ἕβδομος ὁ Ζ κύβος ἅμα καὶ τετράγωνος καὶ οἱ πέντε διαλείποντες πάντες.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Β, ἰσάκις ἄρα ἡ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Α τον Β. ἡ δὲ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. ὁ Α ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν· τετράγωνος ἄρα ἐστὶν ὁ Β. καὶ ἐπεὶ οἱ Β, Γ, Δ ἑξῆς ἀνάλογόν εἰσιν, ὁ δὲ Β τετράγωνός ἐστιν, καὶ ὁ Δ ἄρα τετράγωνός ἐστιν. δια τὰ αὐτὰ δη καὶ ὁ Ζ τετράγωνός ἐστιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ οἱ ἕνα διαλείποντες πάντες τετράγωνοί εἰσιν. λέγω δή, ὅτι καὶ ὁ τέταρτος ἀπὸ τῆς μονάδος ὁ Γ κύβος ἐστὶ καὶ οἱ δύο διαλείποντες πάντες. ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Β πρὸς τὸν Γ, ἰσάκις ἄρα ἡ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Γ. ἡ δὲ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας· καὶ ὁ Β

1. πάντες] om. BVφ. 2. διαλείποντες πάντες BVφ. 4. ὅτι] om. Vφ. 6. πάντες] om. BVφ. 7. πάντες] om. φ. 9. ἅπαντες Vφ. 12. ἀριθμόν] om. BVφ. 14. τῷ Α] αὐτῷ φ. 15. πεποίηκε V et -κε in ras. φ. 17. ἐστι PVφ. 18. ἐστι V. διὰ τά — 19: ἐστιν] om. φ. 20. πάντες] om. BVφ. εἰσι Vφ. 21. ἐστίν P. 25. τῷ Α] αὐτῷ φ.

item, qui[1]) uno loco distant, quartus autem cubus et item omnes, quicunque duobus locis distant, septimus uero simul et cubus et quadratus et item, qui quinque locis distant.

Sint quotlibet numeri inde ab unitate deinceps proportionales A, B, Γ, Δ, E, Z. dico, tertium ab unitate B quadratum esse et item omnes, quicunque uno loco distent, quartum autem Γ cubum et item omnes, quicunque duobus locis distent, septimum uero Z simul et cubum et quadratum et item omnes, quicunque quinque locis distent. nam quoniam est $1 : A = A : B$, unitas numerum A et A numerum B aequaliter metitur [VII def. 20]. sed unitas numerum A secundum unitates ipsius metitur. quare etiam A numerum B secundum unitates numeri A metitur. itaque [VII def. 15] $A \times A = B$. ergo B quadratus est. et quoniam B, Γ, Δ deinceps proportionales sunt, et B quadratus est, etiam Δ quadratus est [VIII, 22]. eadem de causa etiam Z quadratus est. similiter demonstrabimus, etiam omnes, quicunque uno loco distent, quadratos esse. iam dico, quartum ab unitate Γ cubum esse et item omnes, quicunque duobus locis distent. nam quoniam est $1 : A = B : \Gamma$, unitas numerum A et B numerum Γ aequaliter metitur.

A
B
Γ
Δ
E
Z


1) Cum πάντες post διαλείποντες facillime intercidere potuerit, nec in hoc uocabulo uel omittendo uel ponendo constans sit codicum P et Theoninorum consensus aut dissensus, fortasse πάντες ubique recipiendum.

ἄρα τὸν Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας· ὁ Α ἄρα τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἐπεὶ οὖν ὁ Α ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Β πεποίηκεν, τὸν δὲ Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, κύβος ἄρα ἐστὶν ὁ Γ. καὶ ἐπεὶ οἱ Γ, Δ, Ε, Ζ ἑξῆς ἀνάλογόν εἰσιν, ὁ δὲ Γ κύβος ἐστίν, καὶ ὁ Ζ ἄρα κύβος ἐστίν. ἐδείχθη δὲ καὶ τετράγωνος· ὁ ἄρα ἕβδομος ἀπὸ τῆς μονάδος κύβος τέ ἐστι καὶ τετράγωνος. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ οἱ πέντε διαλείποντες πάντες κύβοι τέ εἰσι καὶ τετράγωνοι· ὅπερ ἔδει δεῖξαι.

θ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἑξῆς κατὰ τὸ συνεχὲς ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα τετράγωνος ᾖ, καὶ οἱ λοιποὶ πάντες τετράγωνοι ἔσονται. καὶ ἐὰν ὁ μετὰ τὴν μονάδα κύβος ᾖ, καὶ οἱ λοιποὶ πάντες κύβοι ἔσονται.

Ἔστωσαν ἀπὸ μονάδος ἑξῆς ἀνάλογον ὁσοιδηποτοῦν ἀριθμοὶ οἱ Α, Β, Γ, Δ, Ε, Ζ, ὁ δὲ μετὰ τὴν



μονάδα ὁ Α τετράγωνος ἔστω· λέγω, ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοι ἔσονται.

Ὅτι μὲν οὖν ὁ τρίτος ἀπὸ τῆς μονάδος ὁ Β τετράγωνός ἐστι καὶ οἱ ἕνα διαπλείποντες πάντες, δέ-

1. τῷ Α] αὐτῷ, supra scr. Α φ. 3. μέν] om. P. πε-

unitas autem numerum A secundum unitates numeri A metitur. quare etiam B numerum Γ secundum unitates numeri A metitur. itaque $A \times B = \Gamma$. iam quoniam $A \times A = B$ et $A \times B = \Gamma$, Γ cubus est. et quoniam Γ, Δ, E, Z deinceps proportionales sunt, et Γ cubus est, etiam Z cubus est [VIII, 23].[1]) demonstrauimus autem, eundem etiam quadratum esse. ergo septimus ab unitate et cubus et quadratus est. similiter demonstrabimus, etiam omnes, quicunque quinque locis distent, et cubos et quadratos esse; quod erat demonstrandum.

IX.

Si quotlibet numeri deinceps in proportione continua proportionales sunt inde ab unitate, et unitati proximus quadratus est, etiam reliqui omnes quadrati erunt. et si proximus unitati cubus est, etiam reliqui omnes cubi erunt.

Sint quotlibet numeri inde ab unitate deinceps proportionales A, B, Γ, Δ, E, Z, et unitati proximus A quadratus sit. dico, etiam reliquos omnes quadratos esse. tertium quidem ab unitate B quadratum esse et omnes, qui uno loco distent, demonstratum est [prop. VIII]. dico, etiam reliquos omnes quadratos esse.

1) Et similiter de omnibus, qui duobus locis distant, quod uix opus est, ut cum Augusto diserte addamus.

ποίηκε Vφ. 4. πεποίηκε Vφ. 6. ἐστίν] (prius) ἐστί Vφ. 7. καί] om. φ. 8. τέ] supra m. 1 P. ἐστιν P. δή] in ras. P; δέ φ. 10. τέ] om. P. εἰσιν P. 12. ἑξῆς κατὰ τὸ συνεχὲς ἀριθμοί] ἀριθμοὶ ἑξῆς Theon (BVφ). 17. ὁσοιδηποτοῦν] PBVφ; ὁποσοιοῦν edd. 21. B] δεύτερος V, del. et ins. β m. 2; β δεύτερος φ.

δεικται· λέγω [δή], ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοί εἰσιν. ἐπεὶ γὰρ οἱ Α, Β, Γ ἑξῆς ἀνάλογόν εἰσιν, καί ἐστιν ὁ Α τετράγωνος, καὶ ὁ Γ [ἄρα] τετράγωνος ἐστιν. πάλιν, ἐπεὶ [καὶ] οἱ Β, Γ, Δ ἑξῆς ἀνάλογόν εἰσιν, καί ἐστιν ὁ Β τετράγωνος, καὶ ὁ Δ [ἄρα] τετράγωνός ἐστιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοί εἰσιν.

Ἀλλὰ δὴ ἔστω ὁ Α κύβος· λέγω, ὅτι καὶ οἱ λοιποὶ πάντες κύβοι εἰσίν.

Ὅτι μὲν οὖν ὁ τέταρτος ἀπὸ τῆς μονάδος ὁ Γ κύβος ἐστὶ καὶ οἱ δύο διαλείποντες πάντες, δέδεικται· λέγω [δή], ὅτι καὶ οἱ λοιποὶ πάντες κύβοι εἰσίν. ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν Α, οὕτως ὁ Α πρὸς τὸν Β, ἰσάκις ἄρα ἡ μονὰς τὸν Α μετρεῖ καὶ ὁ Α τὸν Β. ἡ δὲ μονὰς τὸν Α μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ὁ Α ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν. καί ἐστιν ὁ Α κύβος. ἐὰν δὲ κύβος ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος κύβος ἐστίν· καὶ ὁ Β ἄρα κύβος ἐστίν. καὶ ἐπεὶ τέσσαρες ἀριθμοὶ οἱ Α, Β, Γ, Δ ἑξῆς ἀνάλογόν εἰσιν, καί ἐστιν ὁ Α κύβος, καὶ ὁ Δ ἄρα κύβος ἐστίν. δια τὰ αὐτὰ δὴ καὶ ὁ Ε κύβος ἐστίν, καὶ ὁμοίως οἱ λοιποὶ πάντες κύβοι εἰσίν· ὅπερ ἔδει δεῖξαι.

ι'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ [ἑξῆς]

---

1. *δή*] om. P. 2. *εἰσιν*] (alt.) *εἰσι* V*φ*. 3. *τετράγωνος· καὶ ὁ Γ ἄρα*] mg. *φ*. *ἄρα*] om. P. 4. *ἐστίν*] P et V sed *ν* delet.; *ἐστι φ*. *καί*] om. P. 5. *εἰσιν*] -*ν* delet. V. *Δ*] eras. V. *ἄρα*] om. P. 12. *δή*] om. P. 15. *Β*] *Β μετρεῖ* V*φ*. *ἐν*]

nam quoniam *A*, *B*, *Γ* deinceps proportionales sunt, et *A* quadratus est, etiam *Γ* quadratus est [VIII, 22]. rursus quoniam *B*, *Γ*, *Δ* deinceps proportionales sunt, et *B* quadratus est, etiam *Δ* quadratus est [VIII, 22]. similiter demonstrabimus, etiam reliquos omnes quadratos esse.

at rursus *A* cubus sit. dico, etiam reliquos omnes cubos esse.

quartum quidem ab unitate *Γ* cubum esse et item omnes, qui duobus locis distent, demonstratum est [prop. VIII]. dico, etiam reliquos omnes cubos esse.

nam quoniam est $1 : A = A : B$, unitas numerum *A* et *A* numerum *B* aequaliter metitur. unitas autem numerum *A* secundum unitates ipsius metitur. quare etiam *A* numerum *B* secundum unitates suas metitur. itaque $A \times A = B$. et *A* cubus est. sin cubus numerus se ipsum multiplicans numerum aliquem efficit, numerus productus cubus est [prop. III]. ergo etiam *B* cubus est. et quoniam quattuor numeri *A*, *B*, *Γ*, *Δ* deinceps proportionales sunt, et *A* cubus est, etiam *Δ* cubus est [VIII, 23]. eadem de causa etiam *E* cubus est, et similiter reliqui omnes cubi sunt; quod erat demonstrandum.

X.

Si quotlibet numeri ab unitate deinceps proportio-

ἐν τῷ Vφ. 16. καὶ ὁ *A* — 17: μονάδας] mg. m. 1 P. 16. αὐτῷ] τῷ supra scr. αὐτῷ V; τῷ αὐτῷ φ. 18. πεποίηκε Vφ. ὁ] ὡς ὁ P, sed corr. m. 1. 20. ἐστί Vφ. καὶ ὁ *B* ἄρα κύβος ἐστίν] om. P. ἐστί Vφ. 21. εἰσι Vφ. 22. ἐστίν] (alt.) ἐστί Vφ. 23. ἐστί Vφ. 24. ὅπερ] ὁ- in ras. φ. 26. ἑξῆς] om. P.

ἀνάλογον ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα μὴ ᾖ τετράγωνος, οὐδ' ἄλλος οὐδεὶς τετράγωνος ἔσται χωρὶς τοῦ τρίτου ἀπὸ τῆς μονάδος καὶ τῶν ἕνα διαλειπόντων πάντων. καὶ ἐὰν ὁ μετὰ τὴν μονάδα κύβος μὴ ᾖ, οὐδὲ ἄλλος οὐδεὶς κύβος ἔσται χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν δύο διαλειπόντων πάντων.

Ἔστωσαν ἀπὸ μονάδος ἑξῆς ἀνάλογον ὁσοιδηποτοῦν ἀριθμοὶ οἱ Α, Β, Γ, Δ, Ε, Ζ, ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α μη ἔστω τετράγωνος· λέγω, ὅτι οὐδὲ ἄλλος οὐδεὶς τετράγωνος ἔσται χωρὶς τοῦ τρίτου ἀπὸ τῆς μονάδος [καὶ τῶν ἕνα διαλειπόντων].


Εἰ γὰρ δυνατόν, ἔστω ὁ Γ τετράγωνος. ἔστι δὲ καὶ ὁ Β τετράγωνος· οἱ Β, Γ ἄρα πρὸς ἀλλήλους λόγον ἔχουσιν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. καί ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ, ὁ Α πρὸς τὸν Β· οἱ Α, Β ἄρα πρὸς ἀλλήλους λόγον ἔχουσιν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ὥστε οἱ Α, Β ὅμοιοι ἐπίπεδοί εἰσιν. καί ἐστι τετράγωνος ὁ Β· τετράγωνος ἄρα ἐστὶ καὶ ὁ Α· ὅπερ οὐχ ὑπέκειτο. οὐκ ἄρα ὁ Γ τετράγωνός ἐστιν. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλος οὐδεὶς τετράγωνός ἐστι χωρὶς τοῦ τρίτου ἀπὸ τῆς μονάδος καὶ τῶν ἕνα διαλειπόντων.

Ἀλλὰ δὴ μὴ ἔστω ὁ Α κύβος. λέγω, ὅτι οὐδ'

---

8. ἔστωσαν γάρ P. ἑξῆς] in ras. φ. ὁσοιδηποτοῦν] P; ὁποσοιδηποτοῦν BVφ. 10. ὁ Α] om. Vφ. λέγω] ὁ Α. λέγω Vφ. 11. χωρίς] πλήν Vφ. 12. καὶ τῶν ἕνα διαλειπόντων] om. P. 13. ἔστι] ἔστιν P. 15. πρὸς τετράγωνον ἀριθμόν] m. rec. P. 16. ὁ Α] οὕτως ὁ Α B. 17. τόν] om. B. 18. ἀριθμόν P, corr. m. 1. 19. ὥστε — εἰσιν] in V deleta (εἰσι); om. φ. 21. ὑπόκειται Vφ. 22. τετράγωνός ἐστι] om. Vφ. 25. οὐδέ V. οὐδὲ ἄλλος mg. φ.

nales sunt, et unitati proximus quadratus non est, ne alius quidem ullus quadratus erit praeter tertium ab unitate et omnes, quicunque uno loco distant. et si unitati proximus cubus non est, ne alius quidem ullus cubus erit praeter quartum ab unitate et omnes, quicunque duobus locis distant.



Sint quotlibet numeri ab unitate deinceps proportionales *Α*, *Β*, *Γ*, *Δ*, *Ε*, *Ζ*, et unitati proximus *Α* quadratus ne sit. dico, ne alium quidem ullum quadratum esse praeter tertium ab unitate.

nam si fieri potest, *Γ* quadratus sit. est autem etiam *Β* quadratus [prop. VIII]. itaque *Β*, *Γ* inter se rationem habent, quam quadratus numerus ad quadratum numerum. et est $B : \Gamma = A : B$. itaque *Α*, *Β* inter se rationem habent, quam quadratus numerus ad quadratum numerum. quare *Α*, *Β* similes plani sunt [VIII, 26].[1]) et *Β* quadratus est. itaque etiam *Α* quadratus est. quod est contra hypothesim. ergo *Γ* quadratus non est. similiter demonstrabimus, ne alium quidem ullum quadratum esse praeter tertium ab unitate, et quicunque uno loco distent.

at *Α* cubus ne sit. dico, ne alium quidem ullum

1) Fortasse lin. 14: *οἱ* *Β*, *Γ* — 16: *ἀριθμόν* et lin. 19: *ὥστε* — *εἰσίν* spuria sunt. poterat enim uti VIII, 24 melius quam VIII, 26 conuersa; cfr. p. 360, 7.

ἄλλος οὐδεὶς κύβος ἔσται χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν δύο διαλειπόντων.

Εἰ γὰρ δυνατόν, ἔστω ὁ Δ κύβος. ἔστι δὲ καὶ ὁ Γ κύβος· τέταρτος γάρ ἐστιν ἀπὸ τῆς μονάδος. καί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, ὁ Β πρὸς τὸν Γ· καὶ ὁ Β ἄρα πρὸς τὸν Γ λόγον ἔχει, ὃν κύβος πρὸς κύβον. καί ἐστιν ὁ Γ κύβος· καὶ ὁ Β ἄρα κύβος ἐστίν. καὶ ἐπεί ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν Α, ὁ Α πρὸς τὸν Β, ἡ δὲ μονὰς τὸν Α μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας, καὶ ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· ὁ Α ἄρα ἑαυτὸν πολλαπλασιάσας κύβον τὸν Β πεποίηκεν. ἐὰν δὲ ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας κύβον ποιῇ, καὶ αὐτὸς κύβος ἔσται. κύβος ἄρα καὶ ὁ Α· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ὁ Δ κύβος ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλος οὐδεὶς κύβος ἐστὶ χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν δύο διαλειπόντων· ὅπερ ἔδει δεῖξαι.

ια'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ ἐλάττων τὸν μείζονα μετρεῖ κατά τινα τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Ἔστωσαν ἀπὸ μονάδος τῆς Α ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Β, Γ, Δ, Ε· λέγω, ὅτι τῶν Β, Γ, Δ, Ε ὁ ἐλάχιστος ὁ Β τὸν Ε μετρεῖ κατά τινα τῶν Γ, Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α μονὰς πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ Α μονὰς τὸν Β

3. ἔστι] -ι in ras. V, ἔστιν P. 5. τόν] bis om. B. Γ] (alt.) supra φ. 6. ἄρα] supra m. 1 P. 7. ἐστί Vφ. 8.

cubum esse praeter quartum ab unitate, et quicunque duobus locis distent.

nam si fieri potest, sit Δ cubus. est autem etiam Γ cubus [prop. VIII]; quartus enim est ab unitate. et $\Gamma : \Delta = B : \Gamma$. quare etiam B ad Γ rationem habet, quam cubus ad cubum. et Γ cubus est. itaque etiam B cubus est [VII, 13. VIII, 25]. et quoniam est $1 : A = A : B$, et unitas numerum A secundum unitates ipsius metitur, etiam A numerum B secundum unitates suas metitur. itaque erit $A \times A = B$. sin numerus se ipsum multiplicans cubum effecerit, et ipse cubus erit [prop. VI]. itaque A cubus est; quod est contra hypothesim. ergo Δ cubus non est. similiter demonstrabimus, ne alium quidem ullum cubum esse praeter quartum ab unitate, et quicunque duobus locis distent; quod erat demonstrandum.

XI.

Si quotlibet numeri deinceps proportionales sunt ab unitate, minor maiorem secundum aliquem eorum metitur, qui inter numeros proportionales exstant.

Sint quotlibet numeri ab unitate A deinceps proportionales B, Γ, Δ, E. dico, ex numeris B, Γ, Δ, E minimum B numerum E secundum aliquem numerorum Γ, Δ metiri.

nam quoniam est $A : B = \Delta : E$, A unitas nume-

τόν] om. B. οὕτως ὁ B. 14. καί] supra m. 1 P. 15. οὐδέ Vφ. 20. ἐλάσσων P. 23. ὁποιοιοῦν P; corr. m. rec. 24. B, Γ] (prius) in ras. φ. 25. ἐλάσσων Theon (BVφ). ὁ] e corr. V.

ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε· ἐναλλὰξ ἄρα ἰσάκις ἡ Α μονὰς τὸν Δ μετρεῖ καὶ ὁ Β τὸν Ε. ἡ δὲ Α μονὰς τὸν Δ μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ Β ἄρα τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὥστε ὁ ἐλάσσων ὁ Β τὸν μείζονα τὸν Ε μετρεῖ κατά τινα ἀριθμὸν τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Πόρισμα.

Καὶ φανερόν, ὅτι ἣν ἔχει τάξιν ὁ μετρῶν ἀπὸ μονάδος, τὴν αὐτὴν ἔχει καὶ ὁ καθ' ὃν μετρεῖ ἀπὸ τοῦ μετρουμένου ἐπὶ τὸ πρὸ αὐτοῦ. — ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὑφ' ὅσων ἂν ὁ ἔσχατος πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ παρὰ τὴν μονάδα μετρηθήσεται.

Ἔστωσαν ἀπὸ μονάδος ὁποσοιδηποτοῦν ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ· λέγω, ὅτι ὑφ' ὅσων ἂν ὁ Δ πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ Α μετρηθήσεται.

Μετρείσθω γὰρ ὁ Δ ὑπό τινος πρώτου ἀριθμοῦ τοῦ Ε· λέγω, ὅτι ὁ Ε τὸν Α μετρεῖ. μὴ γάρ· καί ἐστιν ὁ Ε πρῶτος, ἅπας δὲ πρῶτος ἀριθμὸς πρὸς

---

2. *δὲ Α*] *δέ* φ. 4. *τῷ Δ*] *αὐτῷ* φ. 8. *πόρισμα* — 11: *πρὸ αὐτοῦ*] om. Theon (BVφ). 8. *πόρισμα*] om. P. 11. *ἐπὶ τό*] scripsi; *κατὰ τόν* P. *αὐτοῦ*] scripsi; *αὐτοῦ ὡς τὸν Δ* P. 14. *ὅσων*] corr. ex *ὧν* m. rec. P. 15. *μετρεῖται* BVφ. 17. *ὁσοιδηποτοῦν* BVφ. 18. *ὑπὸ ὅσω* P, *ν* add. m. rec. 19. *μετρεῖται* Vφ. 22. *τόν*] *καὶ τόν* Vφ et, ut uidetur, B m. rec. *μὴ γὰρ μετρείτω ὁ Ε τὸν Α* Theon (BVφ).

rum B et $\varDelta$ numerum E aequaliter metitur. itaque permutando A unitas numerum $\varDelta$ et B numerum E aequaliter metitur [VII, 15]. uerum A unitas numerum $\varDelta$ secundum unitates ipsius metitur. itaque etiam B numerum E secundum unitates numeri $\varDelta$ metitur. ergo minor B maiorem E secundum aliquem numerum metitur eorum, qui inter numeros proportionales exstant.

Corollarium.

Et manifestum est, quem obtineat locum metiens ab unitate, eandem etiam eum, secundum quem metiatur, ante eum, quem metiatur, obtinere. — quod erat demonstrandum.

XII.

Si quotlibet numeri ab unitate deinceps proportionales sunt, quicunque numeri primi ultimum metiuntur, iidem etiam unitati proximum metientur.

Sint quotlibet numeri ab unitate proportionales A, B, Γ, $\varDelta$. dico, quicunque numeri primi numerum $\varDelta$ metiantur, eosdem etiam numerum A mensuros esse.

nam primus numerus E numerum $\varDelta$ metiatur. dico, E numerum A metiri. nam ne metiatur. et E primus est, omnis autem primus numerus ad omnem numerum, quem non metitur, primus est [VII, 29].

ἅπαντα, ὃν μὴ μετρεῖ, πρῶτός ἐστιν· οἱ Ε, Α ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ· ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. πάλιν, ἐπεὶ ὁ Α τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας, ὁ Α ἄρα τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Ε τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν Ε, Ζ. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, ὁ Ζ πρὸς τὸν Γ. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Γ. μετρείτω αὐτὸν κατὰ τὸν Η· ὁ Ε ἄρα τὸν Η πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν διὰ τὸ πρὸ τούτου καὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ὁ ἄρα ἐκ τῶν Α, Β ἴσος ἐστὶ τῷ ἐκ τῶν Ε, Η. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, ὁ Η πρὸς τὸν Β. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Β. μετρείτω αὐτὸν κατὰ τὸν Θ· ὁ Ε ἄρα τὸν Θ πολλαπλασιάσας τὸν Β πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Ε, Θ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Α. ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Α, ὁ Α πρὸς τὸν Θ. οἱ δὲ Α, Ε πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος

---

2. *εἰσι* V φ. 4. *πεποίηκε* V φ. 9. *οὕτως ὁ* Ζ B. 10. *οἱ δὲ ἐλάχιστοι*] m. 2 B. 11. *τόν*] om. B. 12. *τε*] in ras. φ.

itaque E, A inter se primi sunt. et quoniam E numerum Δ metitur, eum secundum Z metiatur. itaque $E \times Z = \Delta$. rursus quoniam A numerum Δ secundum unitates numeri Γ metitur[1]), erit $A \times \Gamma = \Delta$. uerum $E \times Z = \Delta$. itaque $A \times \Gamma = E \times Z$. itaque $A : E = Z : \Gamma$ [VII, 19]. uerum A, E primi, primi autem etiam minimi [VII, 21], minimi autem eos, qui eandem rationem habent, aequaliter metiuntur [VII, 20], praecedens praecedentem et sequens sequentem. itaque E numerum Γ metitur. metiatur eum secundum H. itaque $E \times H = \Gamma$. uerum propter propositionem praecedentem etiam $A \times B = \Gamma$ [prop. XI coroll.]. itaque $A \times B = E \times H$. quare

$$A : E = H : B \text{ [VII, 19].}$$

uerum A, E primi, primi autem etiam minimi [VII, 21], minimi autem numeri eos, qui eandem rationem habent, aequaliter metiuntur [VII, 20], praecedens praecedentem et sequens sequentem. itaque E numerum B metitur. metiatur eum secundum Θ. itaque $E \times \Theta = B$. uerum etiam $A \times A = B$ [prop. VIII]. itaque

$$E \times \Theta = A \times A.$$

itaque $E : A = A : \Theta$ [VII, 19]. uerum A, E primi sunt, primi autem etiam minimi [VII, 21], minimi autem eos, qui eandem rationem habent, aequaliter

1) Ex coroll. prop. XI, quod omnino necessarium est ad definiendum, secundum quotum quisque numerum alium quempiam metiatur.

ἡγούμενον φ, sed corr. τὸν ἡγούμενον] mg. φ. 13. αὐτῷ V, sed corr. 20. τόν] in ras. φ. 25. ὁ ἄρα] ἔστιν ἄρα ὁ Vφ. 26. Θ, E B. ἐστί] om. Vφ. 27. E, A P. 29. ἔχοντας αὐτοῖς Theon (BVφ).

τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ *E* τὸν *A* ὡς ἡγούμενος ἡγούμενον. ἀλλὰ μὴν καὶ οὐ μετρεῖ· ὅπερ ἀδύνατον. οὐκ ἄρα οἱ *E*, *A* πρῶτοι πρὸς ἀλλήλους εἰσίν. σύνθετοι ἄρα. οἱ δὲ σύνθετοι ὑπὸ [πρώτου] ἀριθμοῦ τινος μετροῦνται. καὶ ἐπεὶ ὁ *E* πρῶτος ὑπόκειται, ὁ δὲ πρῶτος ὑπὸ ἑτέρου ἀριθμοῦ οὐ μετρεῖται ἢ ὑφ' ἑαυτοῦ, ὁ *E* ἄρα τοὺς *A*, *E* μετρεῖ· ὥστε ὁ *E* τὸν *A* μετρεῖ. μετρεῖ δὲ καὶ τὸν *Δ*· ὁ *E* ἄρα τοὺς *A*, *Δ* μετρεῖ. ὁμοίως δὴ δείξομεν, ὅτι ὑφ' ὅσων ἂν ὁ *Δ* πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ *A* μετρηθήσεται· ὅπερ ἔδει δεῖξαι.

ιγ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα πρῶτος ᾖ, ὁ μέγιστος ὑπ' οὐδενὸς [ἄλλου] μετρηθήσεται παρὲξ τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Ἔστωσαν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ *A*, *B*, *Γ*, *Δ*, ὁ δὲ μετὰ τὴν μονάδα ὁ *A* πρῶτος ἔστω· λέγω, ὅτι ὁ μέγιστος αὐτῶν ὁ *Δ* ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται παρὲξ τῶν *A*, *B*, *Γ*.

Εἰ γὰρ δυνατόν, μετρείσθω ὑπὸ τοῦ *E*, καὶ ὁ *E*

---

2. ὡς] ὡς ὁ φ. τὸν ἡγούμενον BVφ. 3. *A*, E B. 4. εἰσί Vφ. ἄρα· οἱ δὲ σύνθετοι] mg. φ. 5. πρώτου] om. P. Post μετροῦνται add. V mg. m. 2: οἱ *A*, *E* ἄρα ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετροῦνται; idem B mg. m. 2. 6. καὶ ἐπεί — 7: ἑαυτοῦ] m. 2 V. 7. μετρῆται P, corr. m. rec. 8. Post

metiuntur [VII, 20], praecedens praecedentem et sequens sequentem. itaque E numerum A metitur, ut praecedens praecedentem. uerum etiam non metitur; quod fieri non potest. itaque E, A inter se primi non sunt. ergo compositi. compositos autem numerus aliquis metitur [VII def. 14]. et quoniam suppositum est, E primum esse, primum autem nullus alius numerus metitur praeter ipsum [VII def. 11], E numeros A, E metitur. quare E numerum A metitur. uerum etiam Δ numerum metitur.[1]) ergo E numeros A, Δ metitur. similiter demonstrabimus, quicunque primi numeri numerum Δ metiantur, eosdem etiam numerum A mensuros esse; quod erat demonstrandum.

XIII.

Si quotlibet numeri ab unitate deinceps proportionales sunt, et unitati proximus primus est, maximum nullus metietur numerus praeter eos, qui inter proportionales exstant.

Sint quotlibet numeri ab unitate deinceps proportionales A, B, Γ, Δ, et unitati proximus A primus sit. dico, maximum eorum Δ nullos alios mensuros esse praeter A, B, Γ.

nam si fieri potest, metiatur numerus E, neu E

1) Propter expositionis genus (p. 362, 22) uerba lin. 8: μετρεῖ δὲ καὶ — 9: μετρεῖ superuacua sunt, et fortasse subditiua.

ὥστε add. καί in ras B. 9. καί] supra φ. Δ] (alt.) in ras. V. 11. μετρεῖται Vφ. 16. ἄλλον] om. P.

μηδενὶ τῶν Α, Β, Γ ἔστω ὁ αὐτός. φανερὸν δή, ὅτι ο Ε πρῶτος οὔκ ἐστιν. εἰ γὰρ ὁ Ε πρῶτός ἐστι καὶ μετρεῖ τὸν Δ, καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ὁ Ε πρῶτός ἐστιν. σύνθετος ἄρα. πᾶς δὲ σύνθετος ἀριθμὸς ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται· ὁ Ε ἄρα ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. λέγω δή, ὅτι ὑπ' οὐδενὸς ἄλλου πρώτου μετρηθήσεται πλὴν τοῦ Α. εἰ γὰρ ὑφ' ἑτέρου μετρεῖται ὁ Ε, ὁ δὲ Ε τὸν Δ μετρεῖ, κἀκεῖνος ἄρα τὸν Δ μετρήσει· ὥστε καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον. ὁ Α ἄρα τὸν Ε μετρεῖ. καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ. λέγω, ὅτι ὁ Ζ οὐδενὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός. εἰ γὰρ ὁ Ζ ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτὸς καὶ μετρεῖ τὸν Δ κατὰ τὸν Ε, καὶ εἷς ἄρα τῶν Α, Β, Γ τὸν Δ μετρεῖ κατὰ τὸν Ε. ἀλλὰ εἷς τῶν Α, Β, Γ τὸν Δ μετρεῖ κατά τινα τῶν Α, Β, Γ· καὶ ὁ Ε ἄρα ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ὁ Ζ ἑνὶ τῶν Α, Β, Γ ἐστιν ὁ αὐτός. ὁμοίως δὴ δείξομεν, ὅτι μετρεῖται ὁ Ζ ὑπὸ τοῦ Α, δεικνύντες πάλιν, ὅτι ὁ Ζ οὔκ ἐστι πρῶτος. εἰ γάρ, καὶ μετρεῖ τὸν Δ, καὶ τὸν Α μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύ-

---

2. ἐστι] ἐστιν P. 3. μή] καὶ μή φ. 5. ἐστι Vφ. ἅπας B. 6. ὁ Ε ἄρα — 7: μετρεῖται] om. BVφ. 7. δή] om. Vφ. 8. πλήν] e corr. V. 10. μετρεῖ] om. Vφ. 13. καί] m. 2 V. αὐτῶν φ, sed corr. 15. εἰ γάρ — 16: αὐτός] m. rec. B. 21. ὅτι — 22: πάλιν] mg. m. 2 B. 22. ὅτι] ὅτι οὔκ ἐστι BVφ. ὁ Ζ — 23: τὸν Δ] m. 2 V. 22. οὔκ ἐστι] om. BVφ. 23. εἰ γάρ] εἰ γάρ ἐστι πρῶτος BV, idem φ in mg. 24. ἐστίν] om. Vφ.

